**ἄτμητον ποίημα, ἄτμητος ᾠδή**

Hephaest. 69. 4 sqq. δεδειγμένου δὲ ἡμῖν τίνα ἐστὶ τὰ ἀπολελυμένα (*scil.* ποιήματα), φαμὲν εἴδη τούτων εἶναι τά τε ἄστροφα καὶ τὰ ἀνομοιόστροφα καὶ ἄτμητα … 69. 16 sqq. ἄτμητα δέ ἐστι τὰ τηλικαῦτα, ὥστε δύνασθαι μὲν τέμνεσθαι, μὴ μέντοι τι τεκμήριον ὑπάρχειν τοῦ τὸν ποιητὴν αὐτὰ τετμηκέναι, μήτε βραχυκαταληξίαν μήτε τι ἕτερον τῶν διοριζόντων τὰ ποιήματα, οἷον ἐφύμνιον ἢ ἀναφώνημα.

Schol. in Aristoph. *prol.* XXIc. 26 sqq. (p. 100 Koster)

ἡ λέξις οὕτω τὴν διαίρεσιν φέρει
τὰ ἃ διῃρέθη τε λέξεως λέγω.
τὴν σκηνικὴν ἄτμητον ᾠδήν μοι νόει,
τὴν τοῦ χοροῦ δὲ πενταχῇ τετμημένην·
τῶν τμημάτων κλήσεις δὲ πάροδος καὶ στάσιμον
ἥ τ᾽ ἐμμέλεια, κομμὸς ἐξόδου μέτα.

Schol. in Aristoph. *prol.* XXIc. 162 sqq. (p. 107 Koster)

τὸ σκηνικὸν πρόσωπον αὖ τέμνει πάλιν
εἴς τε σκοπούς, σάλπιγγας, εἰς τοὺς ἀγγέλους
ἐξαγγέλους τε πρὸς τρισίν, οἷσπερ λέγω·
τὰ τοῦ χοροῦ δ᾽ ἄτμητα παντελῶς λέγει.
τὰ τῶν προσώπων ταῦτα· τοὺς λόγους πάλιν
ἑξῆς διαιρεῖ πρὸς μέτρα καὶ περιόδους.
μέτρα τροχαίους σὺν ἰάμβοις μοι νόει,
τοὺς δ᾽ αὖ ἰάμβους σὺν ἀναπαίστοις περίοδον.
τὰ μέτρα ταῦτα σὺν <ταῖς> περιόδοις ἅμα
πάλιν διαιρεῖ πρὸς τὰ τέσσαρα μέρη,
προλόγους τε ῥῆσιν, ἐπεισόδιον καὶ ἔξοδον,
εἰς τὰς ἀμοιβάς, εἰς λόγους κουρισμάτων,
εἰς σκηνικὴν ᾠδήν τε καὶ χορευμάτων.
τὴν σκηνικὴν ἄτμητον ᾠδὴν αὖ λέγει,
τὴν τοῦ χοροῦ δὲ τετραχῇ τετμημένην,
εἰς πάροδον, ἐπιπάροδον, στάσιμον, ὀρχηματικόν. [*R.S.*]